Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: gcm-aa

*Φιλέταιρος ὁ κωμικός* · Philetaerus the Comic Poet

# Comic Fragments on Life and Pleasure

*Ἀποσπάσματα περὶ Βίου καὶ Ἡδονῆς*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 ἐνέσεισε μεστὴν ἴσον ἴσῳ μετανιπτρίδα μεγάλην ὑπειπὼν τῆς Ὑγιείας
book 1.2 τοὔνομα.
book 3.1 κἂν δέῃ, τροχάζω
book 3.2 στάδια
book 3.3 πλείω
book 3.4 Σωτάδου, τὸν
book 3.5 Ταυρέαν δὲ τοῖς πόνοις ὑπερβαλῶ, τὸν Κτησίαν
book 3.6 τε τῷ φαγεῖν ὑπερδραμῶ.
book 4 Πηλεύς· ὁ Πηλεὺς δ’ ἐστὶν ὄνομα κεραμέως, ξηροῦ λυχνοποιοῦ, Κανθάρου, πενιχροῦ πάνυ, ἀλλ’ οὐ τυράννου νὴ Δία.
book 5.1 ὡς
book 5.2 τακερόν, ὦ Ζεῦ, καὶ μαλακὸν τὸ βλέμμ’ ἔχει. οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι
book 5.3 πανταχοῦ, ἀλλ’ οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.
book 6.1 παῦσαι γέρων ὢν
book 6.2 τοὺς
book 6.3 τρόπους. οὐκ οἶσθ’ ὅτι ἥδιστόν ἐστιν ἀποθανεῖν βινοῦνθ’ ἅμα, ὥσπερ λέγουσιν ἀποθανεῖν
book 6.4 Φορμίσιον;
book 7.1 τί δεῖ γὰρ ὄντα θνητόν, ἱκετεύω, ποιεῖν, πλὴν ἡδέως ζῆν τὸν βίον καθ’ ἡμέραν, ἐὰν ἔχῃ τις ὁπόθεν; ἀλλὰ δεῖ σκοπεῖν
book 7.2 τοῦτ’ αὐτό, τἀνθρώπει’ ὁρῶντα
book 7.3 πράγματα,[ln_5]εἰς αὔριον δὲ μηδὲ φροντίζειν ὅ τι ἔσται· περίεργόν ἐστιν ἀποκεῖσθαι πάνυ ἕωλον ἔνδον ἀργύριον.
book 8.1 οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι
book 8.2 πανταχοῦ, ἀλλ’ οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.
book 9.1 οὐχὶ Κερκώπη μὲν ἤδη γέγον’ ἔτη
book 9.2

τρισχίλια, ἡ δὲ Διοπείθους ἀηδὴς Τέλεσις ἕτερα μυρία; Θεολύτην δ’ οὐδ’ οἶδεν οὐδείς, ὅτε τὸ πρῶτον ἐγένετο. οὐχὶ Λαῒς μὲν

book 9.3 τελευτῶς’ ἀπέθανεν βινουμένη,[ln_5]’Ισθμιὰς δὲ καὶ Νέαιρα κατασέσηπε καὶ Φίλα; Κοσσύφας δὲ καὶ Γαλήνας καὶ Κορώνας οὐ λέγω· περὶ δὲ Ναΐδος

book 9.4 σιωπῶ· γομφίους γὰρ οὐκ ἔχει.

book 10.1 καὶ χειροβαρὲς

book 10.2 σαρκὸς ὑείας θετταλότμητον κρέας

book 11 οὐ πρὸς γυναικὸς ὁ κόρος. οἴκαδ’, ὦ κόρη, ἄπιθ’ ἀμπαλίνορρος.

book 12 [spk_β]τίς ἐστι μαιμακτηριών; Β. μὴν δικάσιμος.

book 13 θνητῶν δ’ ὅσοι ζῶσιν κακῶς ἔχοντες ἄφθονον βίον, ἐγὼ μὲν αὐτοὺς ἀθλίους εἶναι λέγω· οὐκ ἂν θανὼν δήπουθεν ἔγχελυν φάγοις,[ln_5]οὐδ’ ἐν νεκροῖσι πέττεται γαμήλιος.

book 14-15.1 ὁ μάγειρος οὗτος

book 14-15.2 Πατανίων

book 14-15.3 προσελθέτω.[ln_1]. . . . . . . . . . . . . . πλείους

book 14-15.4 Στρατονίκου

book 14-15.5 τοὺς μαθητάς μοι δοκεῖ ἕξειν

book 14-15.6 Πατανίων.

book 16 πεπωκέναι δοκεῖ τὸν κατὰ δύο καὶ τρεῖς ἀκράτου.

book 17 ἐπίπλο[ι]ον

book 18.1 ὦ Ζεῦ, καλόν γ’ ἔστ’ ἀποθανεῖν αὐλούμενον· τούτοις ἐν ᾅδου γὰρ μόνοις ἐξουσία ἀφροδισιάζειν ἐστίν, οἱ δὲ τοὺς

book 18.2 τρόπους ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ,[ln_5]εἰς τὸν πίθον φέρουσι τὸν

book 18.3 τετρημένον.

book 20 χλαμὺς ὁλόλευκος

Eulogikon public reading copy · View original HTML at eulogikon.org